ἀπὸ τῆς ΒΓ ἴσον τὸ ΚΛ. λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν
ΑΓ ΓΒ ἴσον ἐστὶ τῷ ΜΖ. τετμήσθω ἡ ΜΗ δίχα κα-
τὰ τὸ Ν. καὶ παράλληλος ἤχθω ἡ ΝΞ ἑκατέρα τῶν
ΜΛ ΗΖ. ἑκάτερον ἄρα τῶν ΜΞ ΝΖ ἴσον ἐστὶ τῷ ἀ-
πὸ ὑπὸ τῶν ΑΓ ΓΒ. καὶ ἐπεὶ ἑκδύο ὀνομάτων ἐστὶν ἡ ΑΒ
διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ. αἱ ΑΓ ΓΒ ἄρα
ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. τὰ ἄρα ἀπὸ
τῶν ΑΓ ΓΒ ῥηταί εἰσι καὶ σύμμετρα ἀλλήλοις. ὥστε καὶ
τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ σύμμετρόν ἐστι
τοῖς ἀπὸ τῶν ΑΓ ΓΒ. ῥητὸν ἄρα ἐστὶ τὸ συγκείμενον
ἐκ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ. καὶ ἐστὶν ἴσον τῷ ΔΛ. ῥητὸν
ἄρα ἐστὶ τὸ ΔΛ καὶ παραρητήν τὴν ΔΕ παράκειται.
ῥητὴ ἄρα ἐστὶν ἡ ΔΜ καὶ σύμμετρος τῇ ΔΕ μήκει.
πάλιν ἐπεὶ αἱ ΑΓ ΓΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμε-
τροι. μέσον ἄρα ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ τουτέστι
τὸ ΜΖ. καὶ παραρητὴν τὴν ΜΛ παράκειται. ῥητὴ
ἄρα ἐστὶ καὶ ἡ ΜΗ καὶ ἀσύμμετρος τῇ ΜΛ τουτέστι τῇ ΔΕ
μήκει. ἐστὶν δὲ καὶ ἡ ΜΔ ῥητὴ καὶ τῇ ΔΕ μήκει σύμμε-
τρος. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει καὶ εἰ-
σὶν ῥηταί. αἱ ΔΜ ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον
σύμμετροι. ἑκδύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. δεικτέ-
ον δὴ ὅτι καὶ πρώτη. ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ
μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΓ ΓΒ. καὶ τῶν ΔΘ ΚΛ
ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΜΞ. ἔστιν ἄρα ὡς τὸ ΔΘ
πρὸς τὸ ΜΞ. οὕτως τὸ ΜΞ πρὸς τὸ ΚΛ. τουτέστιν ὡς ἡ
ΔΚ πρὸς τὴν ΜΝ. ἡ ΜΝ πρὸς τὴν ΜΙΚ. τὸ ἄρα ὑπὸ

τῶν ΔΚ ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεὶ σύμμετρόν ἐστι
τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ. σύμμετρόν ἐστι καὶ τὸ ΔΘ
τῷ ΚΛ. ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστιν. καὶ ἐπεὶ
μεῖζον ἀέστι τὰ ἀπὸ τῶν ΑΓ ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ.
μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ. ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ
μεῖζον ἐστὶ καὶ ἐστὶν ἴσον τὸ ὑπὸ τῶν ΔΚ ΚΜ τῷ ἀ-
πὸ τῆς ΜΝ. τουτέστι τῷ τετάρτῳ τοῦ ἀπὸ τῆς ΜΗ.
καὶ συμμετρὸς ἡ ΔΚ τῇ ΚΜ. ἐὰν δὲ ὦσιν δύο εὐθεῖαι
ἄνισοι. τῷ δεκτάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος
ἴσον παρατὴν μεῖζονα παραυλήθῃ ἐλλεῖπον εἴδει
τετραγώνῳ καὶ εἰς σύμμετρα αὐτὴν διαιρῇ. ἡ μεῖζον
τῆς ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑ-
αυτῇ. ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ
συμμέτρου ἑαυτῇ.




καὶ εἰσὶ ῥηταὶ αἱ ΔΜ
ΜΗ. καὶ ἡ ΔΜ μεῖζον
ὄνομα οὖσα. σύμ-
μετρός ἐστι τῇ ἐκ-
κειμένῃ ῥητῇ
τῇ ΔΕ μήκει. ἡ
ΔΗ ἄρα ἑκδύο ὀ-
νομάτων ἐστὶ πρώτη.

Τὸ ἀπὸ τῆς ἑκδυομένων πρώτης παρὰ ῥητὴν πα-
ραλλόμενον πλάτος ποιεῖ τὴν ἑκδύο ὀνομάτων
δευτέραν. ἔστω ἑκδυομένων πρώτη ἡ ΑΒ διῃρημέ-
νη εἰς τὰς μέσας κατὰ τὸ Γ. ὧν μεῖζον ἡ ΑΓ. καὶ ἐκκείσθω

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo